# 29 OCTOMBRIE
# GHERASIMOS MIKRAGHIANANITUL

# SLUJBA SF.CUVIOASE-MUCENIȚE ANASTASIA DE LA ROMA



## MINEIUL PE OCTOMBRIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 29 Ὀκτωβρίου
# ΑΓΙΑΣ ΑΝΑΣΤΑΣΙΑΣ ΤΗΣ ΡΩΜΑΙΑΣ
# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν Στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὴν ἐσομένην σοι, Μάρτυς θείαν λαμπρότητα, προφαίνουσα τῇ κλήσει, σεμνὴ Ἀναστασία, ἀνέστησας ἐν ἄθλοις περιφανές, καὶ περίβλεπτον τρόπαιον, κατὰ τῆς πλάνης δυνάμει τῇ τοῦ Χριστοῦ, ὑπὲρ φύσιν ἀριστεύσασα.

Τὴν καλλονὴν τῆς ψυχῆς σου καὶ ὡραιότητα, ἀθλητικοῖς ἀγῶσι, λαμπροτέραν εἰργάσω, καὶ ὤφθης τοῦ Σωτῆρος ὡς ἀληθῶς, νύμφη ὄντως περίδοξος, Ἀναστασία Παρθένων ἡ καλλονή, καὶ Ὁσιῶν ἐγκαλλώπισμα.

Τὰς δριμύτητας ὀδύνας ὡς ἄλλου πάσχοντος, ὑπέμεινας ἀνδρείως, τῇ ἀγάπῃ Κυρίου, σεμνὴ Ἀναστασία καὶ τοῦ ἐχθροῦ, τὴν ὀφρὺν καταβέβληκας· ὅθεν λαμπρῶς ἐδοξάσθης παρὰ Χριστοῦ, τῶν θαυμάτων ταῖς δυνάμεσι.

Τὸ ἱερὸν λείψανόν σου ὡς ὑπεδέξατο, ἡ σὴ ὁσία μήτηρ, Ἀναστασία Μάρτυς, δακρύουσα ἠσπάζετο ἐν χαρᾷ, καὶ βοῶσα ἐφθέγγετο· τέκνον γλυκύτατον, δόξα μου ἀληθής, πῶς ὑμνήσω τοὺς ἀγῶνάς σου!

Δόξα. Ἦχος α΄.

Τῆς παρθενίας τὸ ἄνθος, γεωργοῦσα ἐμμελῶς, ἀθλητικοῖς ἀγῶσιν ἔδειξας, τὴν σὴν θερμὴν πρὸς Χριστὸν ἀγάπην· ὑπερφυῶς γὰρ ἠγωνίσω, γυναικείαν ἀσθένειαν ὑπεριδοῦσα, Ἀναστασία καλλιπάρθενε· καὶ τῷ ἄνω

νυμφῶνι, λαμπαδηφόρος χωρήσασα, καὶ Χριστοῦ τὸ κάλλος ὁρῶσα, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις...

Ἀπόστιχα. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Νύμφη περικαλλής, Ἀναστασία ὤφθης, Χριστοῦ τοῦ Βασιλέως, ἀσκήσει καὶ ἀθλήσει, ἐκλάμψασα πανεύφημε.

Στίχ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον.*

Κάλλος τὸ τῆς ψυχῆς, ἐκφαίνουσα τῇ ὄψει, σεμνὴ Ἀναστασία, ἐξέπληξας τοὺς πάντας, ἀθλητικοῖς παλαίσμασι.

Στίχ .: *Καὶ ἔστησεν ἐπὶ πέτραν...*

Πάντας τοὺς εὐλαβῶς, ἀσπαζομένους Μάρτυς, τὰ θεία λείψανά σου, πάσης ἀσθενείας, καὶ βλάβης ῥύου πάντοτε.

Δόξα. Τριαδικόν.

Δύναμιν παρά Σοῦ, Τριὰς Ὑπεραγία, λαμβάνουσα ἡ Μάρτυς, τὸ κράτος τοῦ δολίου, εἰς τέλος κατεπάτησε.

Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Μαριάμ, ἡ τὸν Χριστὸν τεκοῦσα, ὃν ἡ Ἀναστασία, ἐδόξασεν ἐν ἄθλοις, ἡμῖν ἵλεων ἔργασαι.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀσκήσει ἐκλάμψασα, ὥσπερ παρθένος σεμνή, ἀθλήσεως αἵμασι, τὴν τῆς ἁγνείας στολήν, ἐνθέως ἐφοίνιξας· ὅθεν Ἀναστασία, ὡς Ὁσία καὶ Μάρτυς, χάριτας ἰαμάτων, ἀπαστράπτεις τῷ κόσμῳ, πρεσβεύουσα τῷ Σωτῆρι, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον...

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό Κύριε ἐκέκραξα ἱστῶμεν Στίχους ς' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ὁσιομάρτυρος. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὰς στρεβλώσεις τοῦ σώματος, καὶ μαστῶν τὴν ἀφαίρεσιν, καὶ χειρῶν ὑπήνεγκας καρτερώτατα, τήν τε ὀδόντων ἐκρίζωσιν, πλευρῶν τὴν κατάφλεξιν, τῶν ποδῶν τήν ἐκκοπήν, καὶ τὸν ἄδικον θάνατον· ὅθεν εἴληφας, τοὺς στεφάνους τῆς νίκης οὐρανίοις, ἐν θαλάμοις κατοικοῦσα, Ἀναστασία πολύαθλε.

Παρθενίας κειμήλιον, κεκλεισμένος Παράδεισος, ἱερὸν ἀνάθημα, θεῖον τέμενος, νύμφη Χριστοῦ πανακήρατε, καὶ ἔμψυχον ἄγαλμα, ἀσκουσῶν ὑπογραμμός, τῶν Μαρτύρων ἀγλάϊσμα, κρήνη βρύουσα, ποταμοὺς ἰαμάτων ἀνεδείχθης, τοῖς τελοῦσί σου τὴν μνήμην, Ἀναστασία πανεύφημε.

Τῶν Μαρτύρων ἀγλάϊσμα, τῶν Παρθένων ἀπάνθισμα, τῶν Ὁσίων μέγιστον ἐγκαλλώπισμα, Ἀναστασίαν πολύαθλον, τῆς Ῥώμης τὸ καύχημα, καὶ τερπνότατον Θεοῦ, καὶ ἀμώμητον σφάγιον, τὴν ἀκράδαντον, εὐσεβείας κρηπῖδα, δεῦτε πάντες, ἀνυμνήσωμεν προθύμως, περιφανῶς ἐναθλήσασαν.

Ἕτερα. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Νεότητας ὥραν νουνεχῶς, δι' ἀγάπην ἔνθεον, καταλιποῦσα πανεύφημε, κατηκολούθησας, ἀρετῶν ἀσκήσει, καὶ πόνοις ἀθλήσεως, Χριστῷ Ἀναστασία πανθαύμαστε, ὅθεν ἀπείληφας, βασιλείαν τὴν οὐράνιον, τὸν ἀγῶνα τὸν μέγαν τελέσασα.

Αἰκίας σεμνὴ ὀδυνηράς, ὥσπερ ἄλλου πάσχοντος, Ἀναστασία ὑπήνεγκας, στεῤῥῷ φρονήματι, θεσμοὺς γυναικείας, παριδοῦσα φύσεως, ὡς νύμφη τοῦ Χριστοῦ

καλλιπάρθενε· ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἀνδρείῳ ὑπῆλθες λογισμῷ, καὶ ψυχῆς στεῤῥότητι, Ἀναστασία πολύαθλε, τὸν τῆς ἀθλήσεως, μέγιστον ἀγῶνα, καὶ διπλῶν ἠξίωσαι, στεφάνων πρὸς Χριστοῦ τοῦ νυμφίου σου, ὅν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καιὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β΄.

Τῇ ἀγάπῃ τοῦ Χριστοῦ πτερωθεῖσα, ὥσπερ παρθένος φρονίμη τοῖς ἴχνεσιν αὐτοῦ ἠκολούθησας, Ὁσιομάρτυς Ἀναστασία, ἀσκητικοῖς γὰρ καμάτοις, τὸν καθάρασα, καθαρὸν δοχεῖον γέγονας, τῆς θεϊκῆς ἐπιπνοίας, καὶ πρὸς ἀθλητικοὺς ἀποδυθεῖσα ἀγῶνας, πάντας κατέπληξας, τῇ ψυχικῇ σου ἀνδρείᾳ, καὶ δι’ ἀμφοτέρων Χριστὸν δοξάσασα, ἄξιως παρ᾽αὐτοῦ ἐδοξάσθης, θαυμάτων ἐνεργείαις· πᾶσι γὰρ παρέχεις ἰάματα, τοῖς ἐκτελοῦσι τὴν μνήμην σου, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε;...

Εἴσοδος. Προκείμενον. Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (λα΄ 10, 13-18, 20, 25).

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς

ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (ε΄ 15-23, στ΄ 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα

ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΜΕΛΑ. Ἦχος α΄.

Ὡς ἐπώνυμος Μάρτυς, τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, ἀξίως πεπολίτευσαι, Ἀναστασία καλλιπάρθενε· ἐν ὁσίαις γὰρ ἀρεταῖς, δόκιμος ὤφθης, καὶ ἐν μαρτυρικοῖς σκάμμασι, τὴν σὴν ἔδειξας λαμπρότητα, ὑπὲρ φύσιν γὰρ ἠγωνίσω, μὴ πτήξασα τυράννων, τὰς ὁρμάς, καὶ τοῦ Σωτῆρος τὸ ὄνομα, εὐτόλμιος ὡμολόγησας, οὗ οὖν τὴν δόξαν ὁρῶσα, δυσώπει δεόμεθα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Ἀνατεθεῖσα τῷ Κυρίῳ, ἐν θεολήπτῳ ψυχῇ, πάντων τῶν ῥεόντων κατεφρόνησας, καὶ τοῦ νυμφίου τῷ ζυγῷ ὑπέσχες, Ἀναστασία θεόσοφε· ὁ γὰρ θεῖος ἔρως κρατήσάς σε, τῶν ἐν κόσμῳ τερπνῶν σὲ ἐμάκρυνε, καὶ ὑπὲρ αὐτοῦ στεῤῥῶς ἀθλῆσαι, τὴν τὴν καρδίαν ἐνίσχυσεν, ὅθεν δριμυτάτοις ὡμιλήσασα βασάνοις, ὑπερτέρα πάντων ἐπέφηνας, καὶ

πυρὸς καὶ σιδήρου εὐτονωτέρα. Ἀλλὰ πρέσβευε Κυρίῳ, τῷ ἀθανάτῳ Βασιλεῖ ἡμῶν, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος γ΄.

Μαρτυρικῶς ἐναθλουσα, τήν του θήλεος ἀσθένειαν ἐστόμωσας, ἀθλητικοῖς παλαίσμασιν, Ἀναστασία Ὁσιομάρτυς Ἔνδοξε, ξεομένης γὰρ τῆς σαρκός, ἡ τῆς ψυχῆς σου κατάστασις, ἐπὶ πλειον ἐλαμπρύνετο· καὶ τεμνομένων τῶν μελῶν, τῆς πρὸς Χριστὸν ἀγάπης οἱ δεσμοί, ἔτι συνεσφίγγοντο, καταξαινομένη γὰρ ἀπηνῶς, ὡς ἀσώματος ὡρᾶσο, κραταιὰν δεχομένη δύναμιν, παρὰ τοῦ νυμφίου σου Χριστοῦ,
τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Ἀνδρείαν ἀναλαβοῦσα γνώμην, τυραννικὸν θυμόν, οὐδαμῶς ἐπτόησαι, Ἀναστασία πολύαθλε, ὢ τῆς σῆς καρτερίας ὥσπερ γὰρ ἄλλου πάσχοντος ἤνεγκας, τῶν ὀδόντων καὶ ὀνύχων τὰς ἐκριζώσεις, καὶ μαστῶν τὴν ἐκκοπήν, καὶ τὴν ἐκτομὴν τῆς γλώσσης μακαρία· δι᾽ ὧν τῆς πλάνης ἐκριζώσασα τὰς ἀκάνθας, ὑπερκοσμίων ἀμοιβῶν ἠξίωσαι, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ὁ αὐτός.

Τὴν ἐν Παρθένοις Μάρτυρα, καὶ ἐν Ὁσίαις Ἀθληφόρον, Ἀναστασίαν τὴν πολύαθλον, ὡς τοῦ Σωτῆρος ἄμωμον νύμφην, ὕμνοις καὶ ᾠδαῖς μακαρίσωμεν, παρθενικαῖς γὰρ ἐκλάμπουσα καλλοναῖς, ἀθλητικαῖς ἀριστείαις νενύμφευται, τῷ ἀθανάτῳ νυμφίῳ Χριστῷ, οὗ τὸ κάλλος ὁρῶσα, καὶ Ἀγγέλοις συνηδομένη, πρεσβεύει ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Ἀναστασία σεμνή, τῆς Ἀναστάσεως Χριστοῦ ἡ ἐπώνυμος, ἁγνείας ἡ μυροθήκη, μοναστριῶν καλλονή, παρθενομαρτύρων ἐγκαλλώπισμα· τῷ θείῳ γὰρ ἔρωτι, πτερωθεῖσα Πανεύφημε, τὰ ἐν τῷ κόσμῳ, ἐκ παιδὸς καταλέλοιπας, καὶ τοῖς ἴχνεσι, τοῦ Χριστοῦ ἠκολούθησας· ὅθεν καὶ ἠνδραγάθησας, ἀθλήσεως σκάμμασιν, καὶ τῶν θαυμάτων πλουσίαν, παρὰ Θεοῦ χάριν εἴληφας, ἀεὶ δυσωποῦσα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον...*

Χαίροις Ἀναστασία σεμνή, ἡ ἐκ τῆς Ῥώμης ὡς ἀστὴρ ἀνατείλασα, καὶ πάντας φωταγωγοῦσα, ταῖς τῶν θαυμάτων αὐγαῖς, τοὺς τῇ σῇ πρεσβείᾳ καταφεύγοντας, στεῤῥῶς γὰρ ἀθλήσασα, δι᾽ ἀγάπην τοῦ Κτίστου σου, ἐμεγαλὺνθης, οὐρανίοις χαρίσμασιν, ὡς νικήσασα, τὴν ἰσχὺν τοῦ ἀλάστορος. Ὅθεν σε μακαρίζομεν, τελοῦντες τὴν μνήμην σου, Παρθενομάρτυς Ὁσία, καὶ ἐκ ψυχῆς ἐκβοῶμέν σοι· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν…*

Χάριν ἀναβλυστάνει ἀεί, ἐπαρδομένη ταῖς ἀρδείαις τοῦ Πνεύματος, ἡ θήκη τῶν σῶν λειψάνων, Ἀναστασία σεμνή, καὶ παρέχει πᾶσι τὰ ἰάματα· ψυχῶν καὶ σωμάτων γάρ, θεραπεῦει τοὺς μώλωπας, παραμυθίαν, χορηγοῦσα καὶ λύτρωσιν, τοῖς ἐν θλίψεσι, συσχεθεῖσι καὶ πάθεσιν, ὅθεν τοῖς σὲ γεραίρουσιν, ἐξαίτει δεόμεθα, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, ἁμαρτημάτων συγχώρησιν, καὶ πάσης ἀνάγκης, ἀπολύτρωσιν ταχεῖαν, καὶ θεῖον ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Μαρτυρικοῖς ἀγωνίσμασιν, ἐν νεανικῷ σώματι, τὸν ἀρχαῖον κατηγωνίσω πτερνιστήν, Ὁσιομάρτυς Ἀναστασία

καλλιπάρθενε· τῷ σῷ Νυμφίῳ γὰρ Χριστῷ ὁλοσχερῶς ἐνατενίζουσα, πολυπλόκων βασάνων, ὡς οὐδὲν ἡγήσω τὴν ἔφοδον· καὶ νομίμως ἀθλήσασα, τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐπαξίως ἐδέξω, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ παρέχοντος τῷ κόσμῳ, εἰρήνην καὶ θεῖον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Νῦν ἀπολύεις, τὸ Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀσκήσει ἐκλάμψασα, ὥσπερ παρθένος σεμνή, ἀθλήσεως αἵμασι, τὴν τῆς ἁγνείας στολήν, ἐνθέως ἐφοίνιξας· ὅθεν Ἀναστασία, ὡς Ὁσία καὶ Μάρτυς, χάριτας ἰαμάτων, ἀπαστράπτεις τῷ κόσμῳ, πρεσβεύουσα τῷ Σωτῆρι, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

Τὸ ἀπ’ αἰῶνος ἀπόκρυφον...

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.

Νεότητος ἀκμήν, παριδοῦσα Ὁσία, ἐκδέδωκας σαυτήν, ἀρετῶν τῇ ἀσκήσει, καὶ ἤνυσας στεῤῥότατα, μαρτυρίου τὰ σκάμματα· ὅθεν σήμερον, Ἀναστασία θεόφρον, ἑορτάζοντες, τὴν φωτοφόρον σου μνήμην, Χριστὸν μεγαλύνομεν.

Θεοτοκίον.

Ἀφράστως τὸν Χριστόν, ἀπεκύησας μόνη, καὶ ἔμεινας Ἁγνή, μετὰ τὸν τόκον Παρθένος, ὡς ἧς πρὸ τόκου Ἄχραντε, Θεοτόκε Πανύμνητε· ὅθεν πρέσβευε, ὑπὲρ ἡμῶν

δυσωποῦμεν, τὸν ἐκλάμψαντα, ἐκ τῶν ἁγνῶν σου λαγόνων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὀδόντων ἐκρίζωσιν, καὶ τῶν ὀνύχων Σεμνή, χειρῶν τὴν ἀφαίρεσιν, καὶ τῶν μαστῶν ἀπηνῶς, ὑπέστης στεῤῥότατα· ὅθεν Ἀναστασία, ἐξεπλάγησαν πάντες, βλέποντες τὴν πολλήν σου, καρτερίαν Ἁγία, δι᾽ ἧς παρὰ Χριστοῦ, λαμπρῶς τεθαυμάστωσαι.

Θεοτοκίον.

Ἀγγέλων Βασίλισσα, καὶ σωτηρία βροτῶν, ἐδείχθης Πανύμνητε, οἵαπερ Μήτηρ Χριστοῦ, τοῦ πάντων δεσπόζοντος· ὅθεν τῆς οὐρανίου, βασιλείας πολίτην, δεῖξόν με Θεοτόκε, διὰ βίου ἀμέμπτου, τὸν πίστει ἀφορῶντα, πρὸς τὴν σὴν χρηστότητα.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

Ἐν ἀσκήσει μὲν πρῴην ἐχθρὸν νικήσασα, ἐν ἀθλήσει τὸ δεύτερον δὲ ἠρίστευσας, καὶ ἐδόξασας Χριστὸν οἰκείοις μέλεσι, καλλιπάρθενε σεμνή, Ἀναστασία θαυμαστή, Ἀγγέλων ἡ συμπολῖτις· μεθ᾽ ὧν δυσώπει ἀπαύστως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Τὸν Σωτῆρα τῶν ὅλων κυοφορήσασα, ὑπὲρ κατάληψιν Κόρη εἰς σωτηρίαν ἡμῶν, τὴν ἀρχαίαν τοῦ Ἀδὰμ ἀρὰν ἠφάνισας· ὅθεν ὑμνοῦμέν σε Ἁγνή, ὡς Μητέρα τοῦ Θεοῦ, καὶ πάντων βροτῶν προστάτιν, ὡς διασῴζουσαν πάντας, ἐκ κατωδύνων περιστάσεων .

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι...*

Στίχ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν...*

Εὐαγγέλιον τῶν δέκα Παρθένων, ζήτει τῷ Σαββάτῳ ιζ' Ματθαίου.

Ὁ Ν΄ Ψαλμός.

Δόξα: Ταῖς τῆς Ἀθληφόρου...

Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στίχ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἀσκητικῇ πολιτείᾳ ἐμπρέψασα, ἀθλητικοῖς καμάτοις ἐλάμπρυνας, τῆς ἁγνείας τὸ κάλλος, Ὁσιομάρτυς Ἀναστασία, καὶ οἰκείοις αἵμασι φοινιχθεῖσα, ὡς θῦμα εὐπρόσδεκτον, καὶ προσφορὰ λογική, Χριστῷ προσενήνεξαι. Αὐτὸν ἱκέτευε δεόμεθα, διδόναι ἡμῖν πταισμάτων λύσιν, καὶ τῆς ἄνω βασιλείας ἀξιωθῆναι.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τῆς Ἁγίας β΄.

Ὁ α΄ τῆς Ἁγίας, ἐκ τοῦ Μηναίου, οὗ ἡ Ἀκροστιχίς: *Τοὺς ἀνδρικούς σου, Μάρτυς, εὐφημῶ πόνους. Ἰωσήφ.*

ᾨδὴ α᾽. Ἦχος πλ.δ'. Ἄσωμεν τῷ Κυρίῳ.

Ταύτην τὴν φωτοφορον, μνήμην σου γεραίροντι Θεόνυμφε, φωτισμὸν μοι παράσχου, τῆς ψυχῆς μου τὸ σκότος διώκουσα.

Ὅλην ἀπὸ σπαργάνων, σεαυτὴν ἀνέθηκας τῷ Κτίστῃ σου, καὶ πυρὶ ἐγκρατείας, τὰ τοῦ σώματος πάθη κατέφλεξας.

Ὕψος πρὸς μαρτυρίου, Μάρτυς ἀνηνέχθης ἀφειδήσασα, τῆς σαρκὸς καὶ θαλάμων, νοητῶν ὡς παρθένος ἠξίωσαι.

Θεοτοκίον.

Σὲ τὴν οὐρανομήκη, κλίμακα ἐν ᾗ Θεὸς ἐπεστήρικτο, τοὺς βροτοὺς οὐρανίους, ἐργαζόμενος Κόρη γεραίρομεν.

Καὶ ὁ β', οὗ ἡ ἀκροστιχίς: *Ῥώμην δίδου μοι Ἀναστασία. Γερασίμου.*

Ὠδὴ α΄. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ῥώμην ἐξαίτει καὶ ἰσχύν μοι ἄνωθεν, Ἀναστασία σεμνή, παρὰ τοῦ Σωτῆρος, καὶ φῶς θεῖον δίδου μοι, ὅπως ὑμνήσω ἔνδοξε, τῶν λαμπρῶν σου ἀγώνων, τὰ ὑπὲρ φύσιν παλαίσματα, δι' ὧν ὥσπερ φῶς κόσμῳ ἔλαμψας.

Ὡς τετρωμένη τοῦ Χριστοῦ τῷ ἔρωτι, ἀπὸ νεότητος, κοσμικὴν ἀπάτην, νουνεχῶς ἐμίσησας, Ἀναστασία πάνσεμνε, καὶ ἀσκήσεως πόνοις, σαυτὴν ἐκδοῦσα ἠρίστευσας, ἐν ἀθλητικοῖς ἀγωνίσμασι.

Μαρτυρικοῖς ἠγλαϊσμένη κάλλεσι, νύμφη περίδοξος, τοῦ Σωτῆρος ὤφθης, τοῦ ἐχθροῦ νικήσασα, Ἀναστασία πάνσεμνε, τὸ μαινόμενον θράσος, ἐνδεδυμένη τὴν δύναμιν, ἄνωθεν Χριστοῦ τοῦ Νυμφίου σου.

Θεοτοκίον.

Ἡ ὑπὲρ φύσιν ἐν γαστρὶ χωρήσασα, τὸν ἀπερίληπτον, καὶ Θεὸν τῶν ὅλων, καὶ ὡς βρέφος τέξασα, ἡμᾶς ἀποκαθαίροντα, τῆς ἀρχαίας κατάρας, εὐλογημένη Πανύμνητε, σῷζε τοὺς πιστῶς σε δοξάζοντας.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἵστασο πρὸ βήματος, τυραννικοῦ Χριστὸν ἔνδοξε, τὸν ποιητήν, πάντων καὶ Δεσπότην, Θεὸν Λόγον κηρύττουσα.

Κάλλος τὸ ἐγκάρδιον, τῇ ὁρατῇ μορφῇ Ἔνδοξε, διαδοθέν, σὲ ὡραιοτάτην, τοῖς ὁρῶσιν ὑπέφαινεν.

Ὄλβον ἀναφαίρετον, τῶν ἰαμάτων σοι δίδωσι, Κόρη Χριστός, οὗ Ἀναστασία, τὴν πτωχείαν ἠγάπησας.

Θεοτοκίον.

Ὕλην τῶν πταισμάτων μου, σῶν πρεσβειῶν πυρὶ σύμφλεξον, Μήτηρ Θεοῦ, δρόσον μοι τὴν θείαν, τῆς ἀφέσεως φέρουσα.

Ἕτερος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Νενευρωμένη τοῦ Χριστοῦ, τῇ ἀηττήτῳ δυνάμει, πρὸς ἀθλήσεως ἐχώρησας πόνους, καὶ καθεῖλες τοῦ ἐχθροῦ, Ἀναστασία πάνσεμνε, τὴν δυναστείαν πᾶσαις ἀθλητικαῖς σου ἐνστάσεσι.

Δόξαν τὴν θείαν τοῦ Χριστοῦ, ὁμολογοῦσα εὐτόνως, πρὸ βημάτων δυσσεβῶν καλλιμάρτυς, καθυπέστης ἀνδρικῶς, βασάνων τὴν δριμύτητα, Ἀναστασία πόθῳ, πυρπολουμένη τοῦ Κτίστου σου.

Ἰδὼν διώκτης ὁ πικρός, τὴν καρτερίαν σου Μάρτυς, ἐπὶ πλεῖον ταῖς βασάνοις ἐχώρει, καὶ αἰκίζων ἀπηνῶς, τὸ ἁπαλὸν σαρκίον σου, οὐκ ἴσχυσε συλλῆσαι, τὸν θησαυρὸν τῆς καρδίας σου.

Θεοτοκίον.

Δεδοξασμένη Μαριάμ, Παντοβασίλισσα Κόρη, ἡ Θεὸν ἀναλλοιώτως τεκοῦσα μετὰ σώματος Ἁγνή, σωματικῶν με λύτρωσαι, παθῶν καὶ τὴν ψυχήν μου, φόβῳ τῷ θείῳ καθήλωσον.

Κάθισμα. Ἦχος α’. Τὸν τάφον Σου Σωτὴρ.

Ἐκ βρέφους τῷ Θεῷ, ἀνετέθης Ὁσία, νεκρώσασα σαρκός, ἐγκρατείᾳ τὰ πάθη, εἰς ὕψος δ’ ἀνέδραμες, μαρτυρίου περίδοξον, ἐναθλήσασα, Ἀναστασία νομίμως, καὶ

τόν δράκοντα, καταβαλοῦσα εἰς χάος, δυνάμει τοῦ Πνεύματος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν βάτον ἣν Μωσῆς, ἀκατάφλεκτον εἶδε, τὸ ὄρος τοῦ Θεοῦ, τὴν ἁγίαν νεφέλην, σκηνὴν τὴν ἀμόλυντον, τὴν θεόδεκτον τράπεζαν, τὸ παλάτιον, τοῦ ὑψηλοῦ Βασιλέως, τὴν ὁλόφωτον, καὶ ἀδιόδευτον πύλην, Παρθένε ὑμνοῦμέν σε.

Ὠδὴ δ’. Εἰσακήκοα Κύριε.

Σὲ ζυγὸν ἐλαφρότατον, Μάρτυς τὴν βαστάσασαν ἐκ νεότητος, σιδηροῦν κλοιὸν βαστάζειν σε, οἱ παρανομοῦντες κατεδίκασαν.

Σταλαγμοὶ τῶν αἱμάτων σου, τῆς πολυθεΐας ἔσβεσαν ἄνθρακας, ὁ πυρσὸς δὲ τῶν θαυμάτων σου, τῶν παθῶν τὴν ὕλην ἀπετέφρωσεν.

Οὐκ ἐγύμνωσε χάριτος, σῶμά σου γυμνώσας ὁ πονηρότατος, ὑφαντὸν δὲ μᾶλλον ἄνωθεν, ἀρραγῆ χιτῶνα προεξένει σοι.

Ὑπὲρ γῆν αἰρομένης σου, πῦρ ἐπὶ τὰ στέρνα Μάρτυς ἐφήπτετο, ὑπεξάπτον σου τὸν ἔρωτα, τὸν πρὸς τὸν Δεσπότην καλλιπάρθενε.

Θεοτοκίον.

Μετὰ τόκον διέμεινας, ἄφθορος Παρθένε ὡς πρὸ γεννήσεως· νέον βρέφος γὰρ ἐκύησας, τὸν πρὸ τῶν αἰώνων γνωριζόμενον.

Ἕτερος. Σύ μου ἰσχύς.

Ὅλῳ νοΐ, Χριστοῦ ὁρῶσα τὴν ἔλλαμψιν, ὥσπερ ἄλλου, πάσχοντος ὑπήνεγκας τὴν τῶν μαστῶν σου ἀποκοπήν, καὶ τὴν τῶν ὀνύχων, Ἀναστασία ἀφαίρεσιν, ἐκριζώσεις δέ, καὶ μελῶν τὰς στρεβλώσεις, καὶ ἐχθροῦ τὴν μανίαν συνέτριψας.

Ὑπερφυοῦς, ὑπομονῆς καλλιπάρθενε, ἐν ἀθλήσει, στήλη ἐχρημάτισας· τούς γὰρ ξεσμοὺς τοὺς ὀδυνηροὺς , καὶ πυρὸς τὴν καῦσιν, ἀνδρειοτάτως ὑπέμεινας σεμνὴ Ἀναστασία, τῷ Χριστῷ μελῳδοῦσα, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Μαρτυρικῶς, Μάρτυς καθεῖλες τὸν τύραννον, τῇ ἐνστάσει, τῆς σῆς κρατερότητος, Ἀναστασία νύμφη Χριστοῦ· χεῖρας γὰρ καὶ πόδας, ἀποκοπεῖσα διέκοψας ἐχθρῶν τῶν νοουμένων, κεφαλὰς ἐν ἐκστάσει, καὶ τῆς ἄνω λαμπρότητας ἔτυχες.

Θεοτοκίον.

Ὅλος ἐν σοί, ὁ τοῦ Πατρὸς Λόγος σύνθρονος, ἐνσκήνωσεν, μὴ λιπὼν Πανύμνητε, τὸν Πατρικὸν κόλπον ὡς Υἱός, σὰρξ ἐκ σοῦ ὡράθη, καὶ τὸν Ἀδὰμ ἀνεκαίνισε· διό σε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, ἀνυμνοῦντές σε Κόρη δοξάζομεν.

Ὠδὴ ε’. Ὀρθρίζοντες βοῶμέν σοι.

Ἀνάλωτος πυρί, τῷ ἐνύλῳ ἐδείχθης Μάρτυς, πῦρ γὰρ σε ἐγκάρδιον, θείας ἀγάπης ἐδρόσιζε.

Ῥαπίσματι τὸ πρόσωπον Μάρτυς ὡραιωθεῖσα, ἐχθρῶν ἀπερρύπωσας, δυσειδεστάτων τὰ πρόσωπα.

Ταθεῖσα ἐπὶ ξύλου θεόφρον Ἀναστασία, πόθῳ τοῦ Νυμφίου σου, τὸ θεῖον πάθος εἰκόνιζες.

Θεοτοκίον.

Ὑμνοῦμέν σε πανύμνητε Δέσποινα Θεοτόκε, Θεὸν ὑπερύμνητον, σαρκὶ ἀσπόρως κυήσασαν.

Ἕτερος. Ἵνά τι μὲ ἀπώσω.

Ἱερεῖον καθάπερ, καὶ ἱερωτάτη θυσία καὶ ἄμωμος, τῷ Χριστῷ προσήχθης, ὑποστᾶσα πολύπλοκα βάσανα, καὶ τῆς

ἀσεβείας, Ἀναστασία τὰς δυνάμεις, κατεπάτησας σθένει τοῦ Πνεύματος.

Ἀπερίτρεπτος ὤφθης, ἐν τῷ πικροτάτως αἰκίζεσθαι πάνσεμνε, τὸν σεπτόν σου σῶμα, τετρωμένη τῷ πόθῳ τοῦ Κτίστου σου· ὅθεν ξεομένη, καὶ φλεγόμενη ὑπεμφαίνεις, τὴν ἐν σοὶ τοῦ Σωτῆρος λαμπρότητα.

Νεκρωθεῖσα τῷ κόσμῳ, ἔζης ἐν Κυρίῳ ἐνθέῳ φρονήματι, καὶ αὐτὸν κηρύττεις, ὡς ζωὴν τῶν ἁπάντων καὶ Κύριον, ᾧ κραταιουμένη, Ἀναστασία Καλλιμάρτυς, τῶν Μαρτύρων ὑπῆλθες τὸ στάδιον.

Θεοτοκίον.

Ἀπειράνδρως τεκοῦσα, τὸν ἀπεριόριστον φύσει θεότητος Κεχαριτωμένη, Ὑπερούσιον Λόγον καὶ Κύριον, ὤφθης ἀνωτέρα, πάντων τῶν ὄντων ἀσυγκρίτως, καὶ Ἀδὰμ τοῦ πεσόντος ἀνόρθωσις.

Ὠδὴ ς'. Χιτῶνά μοι παράσχου.

Στρεβλούμενον τὸ σῶμα αἰκισμοῖς, ἐδήλου τὸ ὄρθιον, σῆς προαιρέσεως, πρὸς Θεὸν Ἀναστασία πανεύφημε.

Ἐκρέμασο μετέωρος πληγάς, Μάρτυς ὑποφέρουσα, ἄπληγον σῴζουσα, τῆς ψυχῆς τὸ εὐγενὲς ἀξιάγαστε.

Ὑπήνεγκας μαζῶν τὴν ἐκκοπήν, πιστοὺς διατρέφουσα, γάλακτι Ἔνδοξε, τῆς μιμήσεως τῆς σῆς ἐμφανέστατα.

Θεοτοκίον.

Φιλάνθρωπον κυήσασα Θεόν, φιλάγαθε Δέσποινα, αὐτὸν ἱκέτευε, τῆς γεέννης τοῦ πυρὸς λυτρωθῆναί με.

Ἕτερος. Τὴν δέησιν.

Σοφίας, τῆς κατὰ πνεῦμα μητρός σου, εὐθαλέστατος βλαστὸς οὖσα Κόρη, τοῦ μαρτυρίου ὑπῆλθες τὸ σκάμμα,

Ἀναστασία καὶ πάντας ἐξέπληξας, τοῖς ὑπὲρ φύσιν ἀληθῶς, ἐν ἀθλήσει ἀγῶσί σου Πάνσεμνε.

Τὴν γλῶτταν, τὴν θεηγόρον τμηθεῖσα, τὸ τῆς πλάνης ἀπεφίμωσας στόμα, καὶ τοῖς κρουνοῖς τῶν χυθέντων αἱμάτων, τὸν πολυμήχανον ὄφιν ἀπέπνιξας, Ἀναστασία καὶ Θεῷ, νῦν προσᾄδεις τὸν ὕμνον τὸν ἄληκτον.

Ἀθλήσει, Χριστὸν δοξάζουσα Κόρη, τοὺς ξεσμοὺς καὶ τῆς σαρκὸς τὰς φλογώσεις, καὶ τῶν χειρῶν καὶ ποδῶν τὰς στερήσεις, καὶ τὴν τομὴν τῶν μαστῶν σου ὑπέμεινας, Ἀναστασία ἀνδρικῶς, ἀσεβείας τὸ θράσος αἰσχύνουσα.

Θεοτοκίον.

Σαρκός μου, καὶ τῆς ψυχῆς Θεοτόκε, ἀπονέκρωσον ὁρμὰς τὰς ἀτάκτους, καὶ τὴν καρδίαν μου κάθαρον Κόρη, ἐξ ἐννοιῶν φιληδόνων τοῦ ὄφεως, καὶ λάμπρυνόν με τῷ φωτί, μετανοίας γνησίας καὶ σῶσόν με.

Κοντάκιον. Ἦχος γ’. Ἡ Παρθένος σήμερον.

Παρθενίας νάμασι, καθηγνισμένη Ὁσία, μαρτυρίου αἵμασιν, Ἀναστασία πλυθεῖσα, παρέχεις τοῖς ἐν ἀνάγκαις τῶν νοσημάτων, ἴασιν καὶ σωτηρίαν τοῖς προσιοῦσιν, ἐκ καρδίας· ἰσχὺν γὰρ νέμει, Χριστὸς ὁ βρύων, χάριν ἀέναον.

Ὁ Οἶκος.

Ἀνατεθεῖσα τῷ Χριστῷ, ἐν θεολήπτῳ γνώμῃ, κατηκολούθησας αὐτῷ, ἀπεριτρέπτῳ λογισμῷ, παρθένε θεοφόρε· καὶ Σοφίας τῆς σεμνῆς γεωργηθεῖσα τοῖς λόγοις, καρποφορίαν ἀθλητικήν, δαψιλῶς τῇ Ἐκκλησίᾳ ἐξήνεγκας· Χριστοῦ γὰρ ὁμολογήσασα τὸ ὄνομα, καὶ τυράννων μὴ πτοηθεῖσα τὴν δύναμιν, πολυειδέσι βασάνοις ὡμίλησας, καὶ τομὰς καὶ κακώσεις τῶν μελῶν ὑπέμεινας, κραταιουμένη τῷ πόθῳ τοῦ νυμφίου σου, Ἀναστασία Ὁσία καὶ Μάρτυς

ἀήττητε, καὶ ἐν πᾶσι νικηφόρος ὀφθεῖσα, καὶ ἐν θαύμασι δοξασθεῖσα, πᾶσι βοηθεῖς τοῖς καλοῦσί σε, ἰσχὺν γὰρ νέμει σοι Χριστός, ὁ βρύων χάριν ἀένναον.

Συναξάριον.

Τῇ ΚΘ΄ τοῦ αὐτοῦ μηνὸς, μνήμη τῆς ἁγίας Ὁσιομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας.

Στίχοι.

*Κάρας τομὴν ἤνεγκε ῥώμῃ καρδίας,*
*Βλάστημα Ῥώμης, Μάρτυς Ἀναστασία.*
*Τλῇ δὲ Ἀναστασίη ἐνάτῃ ξίφος εἰκάδι ὀξύ.*

Ταῖς αὐτῆς πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ'. Παῖδες Ἑβραίων.

Ἦχος φωνῆς ἑορταζόντων, ἔνθα πέφυκε χορεύεις, Ἀθληφόρε, σὺν Παρθένων χοροῖς, τῷ Κτίστῃ μελῳδοῦσα· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Μέλη συνθλώμενα ὁρῶσα, καὶ ὀνύχων σπαραγμὸν προσκαρτεροῦσα, ἀνηνέχθης Χριστῷ, θυσία μελῳδοῦσα· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὤφθης ὡς ἄμπελος Θεόφρον, χεῖρας πόδας τε ὡς κλάδους τεμνομένη, καὶ ἡμῖν νοητῶς, τὸν οἶνον γεωργοῦσα, καρδίας τὸν εὐφραίνοντα, καὶ παθῶν ὠθοῦντα μέθην.

Πῦρ αἰσθητὸν οὐκ ἐπτοήθης, Νεανίας τρεῖς τοὺς πάλαι μιμουμένη, θείαν δρόσον καὶ γάρ, ἐδέξω μελῳδοῦσα· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὅλον τὸν ἄνθρωπον φορέσας, ὁ ὑπέρθεος δίχα τῆς ἁμαρτίας, ἐκ γαστρός σου Ἁγνή, προῆλθε σαρκοφόρος· ὃν ἐκδυσώπει πίστει σε, τοὺς τιμῶντας διασῶσαι.

Ἕτερος. Θεοῦ συγκατάβασιν.

Ἰσχῢϊ τῇ ἄνωθεν, νενευρωμένη ἐν ἀσθενείᾳ σαρκός, κατεπάτησας Κόρη, τὸν ἐν κακίᾳ κατακαυχώμενον, καὶ τῷ Νυμφίῳ Χριστῷ ἀνεκραύγαζες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Αἱμάτων τοῖς ῥεύμασι, τῆς ἀσεβείας τὸ πῦρ κατέσβεσας, καὶ πιστῶν τὰς καρδίας, Ἀναστασία πίστει κατήρδευσας, ἀναβοῶσα τῷ λαμπρῶς σε δοξάσαντι· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Γενναίως ὑπέμεινας, Ἀναστασία ὡς ἄλλου πάσχοντος, τὰς τομὰς τῶν μελῶν σου, κραταιουμένη ἐνθέῳ ἔρωτι, καὶ τῷ Δεσπότῃ Χριστῷ ἀνεκραύγαζες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐκ σοῦ ἀνατέταλκε, δικαιοσύνης Κόρη ὁ Ἥλιος, ἐν μορφῇ βροτείᾳ, θεογνωσίας ταῖς ἀναλάμψεσι, καταφωτίζων τοὺς πίστει κραυγάζοντας· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

ᾨδὴ η'. Ἑπταπλασίως κάμινον.

Νεανικῶς ἠρίστευσας, Ἀθληφόρε πανεύφημε, καὶ κατὰ τῆς πλάνης, ἀνεστήσω τρόπαια, χειρῶν στερουμένη γάρ, καὶ τῶν ποδῶν ὑπέφερες, καὶ τομῆς μαστῶν, καὶ ἐκριζώσεως Μάρτυς, ἠνέσχου τῶν ὀδόντων, ἐν χαρᾷ μελῳδοῦσα· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τούς αἰῶνας.

Ὁλολαμπὴς ὡς ἥλιος, παρθενίας λαμπρότησι, καὶ τῆς μαρτυρίας, καλλοναῖς ἐξήστραψας, καὶ κόσμον ἐφώτισας, ταῖς φωτοβόλοις λάμψεσι, σοῦ Ἀναστασία, τῆς πολλῆς καρτερίας, προθύμως ἐκβοῶσα· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑλομανοῦσαν πάθεσι, τὴν ψυχήν μου Θεόνυμφε, καὶ ἀμαυρουμένην, προσβολαῖς τοῦ ὄφεως, ταῖς σαῖς παρακλήσεσιν, ἐκ τῶν δεινῶν καθάρισον, καὶ φωτιστικῇ, ἐπισκιάσει σου Μάρτυς, καταύγασον βοῶντα· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Σὲ τὴν Ἁγνὴν καὶ ἄμωμον, ἡ Παρθένος ποθήσασα, ἄμωμον καὶ σῶμα, καὶ ψυχὴν ἐτήρησε, παθῶν ὑπεκκαύματα, ὑπομονῇ τεφρώσασα, πεῖράν τε πολλῶν, ὑπενεγκοῦσα βασάνων, καὶ νῦν ἐπουρανίοις, ἐν θαλάμοις χορεύει, σὺν σοὶ εὐφραινομένη, εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος. Τὸν ἐν ὄρει.

Ῥητορεύουσα κόρη πρὸ βημάτων, τῶν ἀνόμων Χριστοῦ, τὴν ἐν σαρκὶ παρουσίαν, Ἀναστασία Μάρτυς ἀνεκραύγαζες· Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀπὸ πάσης ἀνάγκης ἡμᾶς ῥῦσαι, Ἀναστασία σεμνή, τοὺς πόθῳ προσιόντας, τοῖς ἱεροῖς λειψάνοις σου ἑκάστοτε, τοῖς χαριτωθεῖσι, τῇ τοῦ Παρακλήτου, θείᾳ ἐπιφοιτήσει.

Συναφθεῖσα Χριστῷ τῷ σῷ Νυμφίῳ, Ἀναστασία σεμνή, μετὰ τὸ θεῖον τέλος, τῆς καλλονῆς αὐτοῦ καὶ ὡραιότητος, ἐντρυφὰς ἀμέσως, ἐν ἐπουρανίοις, θαλάμοις γηθομένη.

Θεοτοκίον.

Ἴασαί μου τὰ πάθη τῆς καρδίας, Θεοτόκε Ἁγνή, ἀΰλῳ χειρουργίᾳ, καὶ τῶν πταισμάτων δίδου μοι τὴν ἄφεσιν, ταῖς πρὸς τὸν Υἱόν σου, μητρικαῖς πρεσβείαις, θερμῶς ἐκδυσωπῶ σε.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Ἰκρίῳ ἀνηρτήθης Λόγου Θεοῦ, εἰκονίζουσα πάθος σωτήριον, καὶ ἐκκοπήν, ἤνεγκας χειρῶν σου καὶ τῶν ποδῶν,

ὀδόντων τὴν ἐκρίζωσιν, γλώσσης τὴν ἀφαίρεσιν καὶ μαστῶν, ἁγνὴ Ἀναστασία, μοναζουσῶν τὸ κλέος, καὶ τῶν Μαρτύρων ἐγκαλλώπισμα.

Ὡς νύμφη ὡραΐσθης καλλοποιῷ, ἁρμοσθεῖσα Νυμφίῳ παθήμασι, καλλοποιοῖς, ἔνδον τε θαλάμων φωτοειδῶν, ὡς ἐκλεκτὴ ἐσκήνωσας, φέρουσα λαμπάδα περθενικήν, καὶ νῦν συμβασιλεύεις, τῷ ζῶντι εἰς αἰῶνας, Ἀναστασία διαλάμπουσα.

Σταλάζουσιν οἱ πόνοι σου γλυκασμόν, ἁμαρτίας πικρίαν ἐξαίροντες, ἡ δὲ σορός, βρύει ἰαμάτων τοὺς ποταμούς, καὶ κατακλύζει πάντοτε, πάθη καὶ νοσήματα χαλεπά, εἰς δόξαν τοῦ Σωτῆρος, σεμνὴ Ἀναστασία, τοῦ ἐπαξίως σε δοξάσαντος.

Ἠρίστευσαν γυναῖκες τῷ σῷ Σταυρῷ, κρατυνθεῖσαι Χριστὲ παντοδύναμε, καὶ τοῦ ἐχθροῦ, κάραν πολυμήχανον ἀνδρικῶς, Λόγε Θεοῦ συνέθλασαν, καὶ τοῦ Παραδείσου χαρμονικῶς, τὴν οἴκησιν λαχοῦσαι, θεώσεως μετέσχον, ἐπιτηδείως ἀνυμνοῦσαί σε.

Θεοτοκίον.

Φορέσαντά σε σάρκα ἐκ γυναικός, ὡς ἐπέγνω ἡ Μάρτυς σου Κύριε, παρθενικαῖς, κατηγλαϊσμένη μαρμαρυγαῖς, καὶ μαρτυρίου αἵματι, περιηνθισμένη σοι τῷ Χριστῷ, ὀπίσω τῆς Μητρός σου ἐνδόξως προσηνέχθη, ὡς βασιλεύοντι τῆς κτίσεως.

Ἕτερος. Κυρίως Θεοτόκον.

Μεγίστης εὐκληρίας, κατηξιωμένη, Ἀναστασία ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν πίστει τελούντων τὴν θείαν μνήμην σου.

Οἱ πόθῳ προσιόντες, τῷ σεπτῷ ναῷ σου, Ἀναστασία Χριστοῦ καλλιπάρθενε, πάσης ἀνάγκης ῥυσθείημεν ταῖς πρεσβείαις σου.

Ὑψίστου θεία νύμφη, Ὁσιομαρτύρων, Ἀναστασία σεπτὸν ἐγκαλλώπισμα, ἡμῖν ἐξαίτει πταισμάτων τὴν ἀπολύτρωσαν.

Θεοτοκίον.

Ὑπέρτερον τὸν νοῦν μου, δεῖξον Θεοτόκε, τῆς ἐμπαθοῦς, καὶ ὑλώδους συγχύσεως, καὶ τοῦτον πλήρωσον Κόρη θείας φρονήσεως.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Μοναζουσῶν τὸ κλέος, καὶ ὡραιότης Μαρτύρων, Ἀναστασία σὺ ὤφθης, ἐν παρθενίᾳ ἀσκοῦσα, καὶ καρτερῶς ἐναθλοῦσα, ὑπὲρ Χριστοῦ τῆς ἀγάπης.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Ἀθλητικῶς ἠρίστευσας, ἐν ἁπαλῷ τῷ σώματι, καὶ τὸν ἀρχέκακον ὄφιν, Ἀναστασία καθεῖλες· διό σε ἀντημείψατο, θαυμάτων ταῖς δυνάμεσιν, ὁ σὸς Νυμφίος Κύριος, ᾧ πρέσβευε Ἀθληφόρε, ὑπὲρ τῶν σὲ ἀνυμνούντων.

Θεοτοκίον.

Χριστὸν τὸν πολυέλεον, καὶ Βασιλέα Κύριον, ὅν ἔτεκες Θεοτόκε, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ἀπαύστως καθικέτευε, δοῦναι πταισμάτων ἄφεσιν, τοῖς πόθῳ σε δοξάζουσι, καὶ καταφεύγουσι Κόρη, τῇ κραταιᾷ σου πρεσβείᾳ.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἀπὸ νεότητος Μάρτυς Χριστὸν ἠγάπησας, καὶ ἐγκρατείας πόνοις, καὶ μαρτυρίου ἄθλοις, ἐδόξασας τὸ Πάθος αὐτοῦ τὸ σεπτόν, ἀνενδότῳ φρονήματι, Ἀναστασία καὶ μέτοχος τῆς αὐτοῦ, Ἀναστάσεως γεγένησαι.

Τοὺς σπαραγμοὺς τῆς σαρκός σου καὶ τὰς τομὰς τῶν μελῶν, ὑπέμεινας ἀνδρείως, τοῦ Σωτῆρος πόθῳ, σεμνὴ Ἀναστασία· ὅθεν πολλῶν χαρισμάτων ἠξίωσαι, καὶ

ἀναβλύζεις θαυμάτων τὴν δωρεάν, τοῖς πιστῶς σὲ μακαρίζουσι.

Ἀκαταπλήκτῳ καρδίᾳ ὁμολογοῦσα Χριστόν, ὀνύχων καὶ ὀδόντων, τὴν ἐκρίζωσιν φέρεις, σεμνὴ Ἀναστασία καὶ τῶν χειρῶν, καὶ ποδῶν τὴν ἀφαίρεσιν διὸ λαμπρῶς ἐδοξάσθης παρὰ Χριστοῦ, τοῦ Νυμφίου σου πανθαύμαστε.

Παρθένων ὤφθης λαμπρότης καὶ τῶν Ὁσίων σεμνή, καὶ Παρθενομαρτύρων, ἐγκαλλώπισμα θεῖον, ἀθλήσασα νομίμως ὑπὲρ Χριστοῦ, καὶ ἐχθρὸν καταισχύνασα, Ἀναστασία, διό σε ἀσματικῶς, ἀνυμνοῦμεν καὶ γεραίρομεν.

Δόξα. Ἦχος πλ. α'.

Παρθενομάρτυς πολύαθλε, τίς σου τοὺς ἀγῶνας, κατ' ἀξίαν ἐπαινέσεται; Ἐν γυναικείῳ γὰρ σώματι, πρὸς ἀθλητικοὺς ἀγῶνας ἐχώρησας, καὶ πάντας ἐξέπληξας, τῇ ὑπερφύει καρτερία σου· ὡς γὰρ ἄσαρκος ὑπέμεινας, τοὺς πολυειδεῖς αἰκισμούς, καὶ τὰς ἐκτομὰς τοῦ σώματος, καὶ ἀνωτέρα ὤφθης, πυρὸς καὶ σιδήρου. Ἀλλ' ὦ Ἀναστασία Ὁσιομάρτυς, τῷ ἀθανάτῳ σου νυμφίῳ Χριστῷ πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη.

Ἀπόστολον· ζήτει τῆς Ἁγίας Αἰκατερίνης.

Εὐαγγέλιον κατὰ Λουκᾶν, ὅπερ ζῆτει τῇ Δευτέρᾳ τῆς δ' Ἑβδομάδος Λουκᾶ.

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Ἤθλησας ἀνδρείως ὑπὲρ Χριστοῦ, γυναικείᾳ φύσει, καὶ καθεῖλες τὸν δυσμενῆ, ὅθεν πᾶσι βρύεις, σεμνὴ Ἀναστασία, θαυμάτων ἐνεργείας, τοῖς εὐφημοῦσι σε.

Ἕτερον.

Τὴν Ὁσιομάρτυρα καὶ ἁγνήν, νύμφην τοῦ Δεσπότου, τὴν σφαγεῖσαν ὑπὲρ Χριστοῦ, τιμήσωμεν πάντες ἀπὸ ψυχῆς βοῶντες· Ἀναστασία πάντας λιταῖς σου φύλαττε.

Δίστιχον.

*Ἀναστασία σεμνὴ Ὁσιομάρτυς,*
*Γερασίμου πρόσδεξαι τὴν ὑμνῳδίαν.*

